# *The Doctor and the Piper*

or

## *It's Always Sunny in Delphi*

A short cartoon taken from Lucian's *Symposium*

Illustrated by J. Koelle and Pseudopolites

who can be found, respectively, at
http://mycousinlenin.com/
and http://subsidingsun.uk/pseudopol


ἐνταῦθα Διόνικος ἐπεισῆλθεν ὁ ἰατρὸς οὐ πολὺ κατόπιν τοῦ ἀγῶνος:
βεβραδύκει δέ, ὡς ἔφασκε, φρενίτιδι ἑαλωκότα θεραπεύων...
Πολυπρέποντα τὸν αὐλητήν-
καί τι καὶ γελοῖον διηγήσατο:


ἔφη μὲν γὰρ εἰσελθεῖν
παρ᾽ αὐτὸν οὐκ εἰδὼς
ἐχόμενον ἤδη τῷ πάθει.
τὸν δὲ ταχέως
ἀναστάντα...
ἐπικλεῖσαί τε τὴν θύραν
καὶ ξιφίδιον σπασάμενον.


ἀναδόντα αὐτῷ τοὺς αὐλοὺς
κελεύειν αὐλεῖν.


εἶτα ἐπεὶ μὴ δύναιτο,
παίειν σκῦτος ἔχοντα
ἐς ὑπτίας τὰς χεῖρας.
X!
τέλος οὖν ἐν τοσούτῳ
κινδύνῳ ἐπινοῆσαι τοιόνδε:
ἐς ἀγῶνα γὰρ προκαλέσασθαι
αὐτὸν ἐπὶ ῥητῷ πληγῶν ἀριθμῷ,
V
αἰ πρῶτον μὲν
αὐτὸς αὐλῆσαι,
...πονηρῶς.
μετὰ δὲ παραδοὺς
τοὺς αὐλοὺς ἐκείνῳ
δέξασθαι παρ᾽ αὐτοῦ
τὸ σκῦτος καὶ τὸ ξιφίδιον


καὶ ἀπορρῖψαι τάχιστα
διὰ τῆς φωταγωγοῦ ἐς τὸ
ὕπαιθρον τῆς αὐλῆς.
αὶ τὸ ἀπὸ τούτου
ἀσφαλέστερος ἤδη
προσπαλαίων αὐτῷ
ἐπικαλεῖσθαι
τοὺς γειτνιῶντας,
ὑφ᾽ ὧν ἀνασπασάντων
τὸ θύριον σωθῆναι αὐτός.


ἐδείκνυ δὲ καὶ σημεῖα τῶν πληγῶν
α.
…καὶ ἀμυχάς τινας ἐπὶ τοῦ προσώπου.
β.
καὶ ὁ μὲν Διόνικος οὐ μεῖον εὐδοκιμήσας τοῦ γελωτοποιοῦ ἐπὶ τῇ διηγήσει. πλησίον τοῦ Ἱστιαίου παραβύσας ἑαυτὸν ἐδείπνει ὅσα λοιπά.
οὐκ ἄνευ θεοῦ τινος ἡμῖν ἐπιπαρών,
…ἀλλὰ καὶ πάνυ χρήσιμος τοῖς μετὰ ταῦτα γεγενημένος.